AGE Unit 10 (pronouns completed)
BIBLICAL reading

κατὰ Ἰωάννην 14:4-14 Jesus' final conversation with his apostles.

Jesus says: 4 καὶ ὅπου ὑπάγω οἴδατε τὴν ὁδόν.
5 λέγει αὐτῷ Θωμᾶς, Κύριε, οὐκ οἴδαμεν ποῦ ὑπάγεις· πῶς δυνάμεθα
τὴν ὁδὸν εἰδέναι;
6 λέγει αὐτῷ ὁ Ἰησοῦς, Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή· οὐδεὶς
ἔρχεται πρὸς τὸν πατέρα εἰ μὴ δι' ἐμοῦ. 7 εἰ ἐγνώκατέ με, καὶ τὸν
πατέρα μου γνώσεσθε· καὶ ἀπ' ἄρτι γινώσκετε αὐτὸν καὶ ἑωράκατε
αὐτόν.
8 λέγει αὐτῷ Φίλιππος, Κύριε, δεῖξον ἡμῖν τὸν πατέρα, καὶ ἀρκεῖ ἡμῖν.
9 λέγει αὐτῷ ὁ Ἰησοῦς, Τοσούτῳ χρόνῳ μεθ' ὑμῶν εἰμι καὶ οὐκ ἔγνωκάς
με, Φίλιππε; ὁ ἑωρακὼς ἐμὲ ἑώρακεν τὸν πατέρα· πῶς σὺ λέγεις, Δεῖξον
ἡμῖν τὸν πατέρα; 10 οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν
ἐμοί ἐστιν; τὰ ῥήματα ἃ ἐγὼ λαλῶ ὑμῖν ἀπ' ἐμαυτοῦ οὐ λαλῶ· ὁ δὲ
πατὴρ ἐν ἐμοὶ μένων ποιεῖ τὰ ἔργα αὐτοῦ. 11 πιστεύετέ μοι ὅτι ἐγὼ ἐν
τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί· εἰ δὲ μή, διὰ τὰ ἔργα αὐτὰ πιστεύετε.
12 ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ τὰ ἔργα ἃ ἐγὼ ποιῶ
κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει, ὅτι ἐγὼ πρὸς τὸν πατέρα
πορεύομαι· 13 καὶ ὅ τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου τοῦτο ποιήσω, ἵνα
δοξασθῇ ὁ πατὴρ ἐν τῷ υἱῷ· 14 ἐάν τι αἰτήσητέ με ἐν τῷ ὀνόματί μου
ἐγὼ ποιήσω.

**VOCABULARY**

**αἰτήσητε** ~ αἰτεῖτε
**ἂν** *marks a hypothetical situation*
**ἀρκέω** be enough
**ἄρτι** now
**δεῖξον** (command) show!
**δοξασθῇ** (3rd sg) is glorified
**ζωή -ης ἡ** life
**ἐάν** ~ εἰ
**ἔγνωκάς** (2nd sg) **ἐγνώκατε** (2nd pl) have known
**εἰδέναι** (inf act) know
**ἑώρακεν** (3rd sg) **ἑωράκατε** (2nd pl) has/have seen
**ἑωρακώς –ότος ὁ** one who has seen
**ἵνα** so that
**κἀκεῖνος** = καὶ ἐκεῖνος
**Κύριε** Lord!
**μένων –οντος ὁ** remaining, abiding
**μεῖζον –ονος τό** greater
**οἴδαμεν** (1st pl) **οἴδατε** (2nd pl) know
**ὅπου** where
**οὐδεὶς –ένος ὁ** no one
**πιστεύων –οντος ὁ** believer
**ποῦ** where?
**πῶς** how?
**ῥῆμα –ματος τό** speech
**ὑπάγω** go away

πρὸς Ἐφεσίους 4:1-7
In prison, Paul writes to Christians in Asia Minor on the topic of unity:

**4** 1 παρακαλῶ οὖν ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν κυρίῳ ἀξίως περιπατῆσαι τῆς
κλήσεως ἧς ἐκλήθητε, 2 μετὰ πάσης ταπεινοφροσύνης καὶ πραΰτητος,
μετὰ μακροθυμίας, ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ, 3 σπουδάζοντες
τηρεῖν τὴν ἑνότητα τοῦ πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης· 4 ἓν
σῶμα καὶ ἓν πνεῦμα, καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως
ὑμῶν· 5 εἷς κύριος, μία πίστις, ἓν βάπτισμα· 6 εἷς θεὸς καὶ πατὴρ
πάντων, ὁ ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσιν. 7 ἑνὶ δὲ ἑκάστῳ
ἡμῶν ἐδόθη ἡ χάρις κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ.

## VOCABULARY

**ἀγάπη –ης ἡ** love
**ἀνεχόμενος –ου ὁ** holding onto
**ἀξίως** worthily
**βάπτισμα –ματος τό** baptism
**δέσμιος –ου ὁ** prisoner
**δωρεά -ᾶς** ἡ gift
**ἐδόθη** (3rd sg) was given
**ἕκαστος –ου ὁ** each
**ἐκλήθητε** (2nd pl) were called
**ἑνότης -ητος ἡ** unity
**καθώς** just as
**κλῆσις –εως ἡ** calling
**μακροθυμία –ας ἡ** patience
**μέτρον –ου τό** measure
**παρακαλέω** beg, encourage
**περιπατέω -ήσω** walk, live
**περιπατῆσαι** ~ περιπατεῖν
**πραΰτης -ητος ἡ** gentleness
**σπουδάζων –οντος ὁ** doing one's best, strive
**σύνδεσμιος –ου ὁ** bond
**ταπεινοφροσύνη –ης ἡ** humility
**τηρέω** guard